UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Isidoro Diacono. 440.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

λέα, οὐκ ἔστι τῆς θείας προγνώσεως
μεταβολή. διαβολή, οὐδὲ ἀγνοίας αὐτῆς, ἄπαγε·
ἀλλὰ οἴκτου καὶ φιλανθρωπίας ὑπερ-
βολή. ἐπειδή, φησίν, ἄξιοι μὲν ἦσαν Ἑ-
βραῖοι, βασιλέα αἰτήσαντες, καὶ ἐμὲ
ἀθετήσαντες, παιδευθῆναι, οὐχ οὕτως
δὲ, ὡς ἐποίησεν αὐτοῖς βασιλεύσας
οἰκτείρω. Σαοὺλ, οἰκτείρει κἀκείνους ὡς δεινὰ
πεπονθότας, καὶ τοῦτον ὡς χαλεπὸν
αὐτοῖς γεγονότα. τῆς τοίνυν ἐκείνων
προαιρέσεως, ἡ αἰτία, οὐ τῆς τοῦ δε-
δωκότος τὸ αἴτημα φιλανθρωπίας.

vnxerim Saülem in regem, diuinam prænotionem haud quaquam traducunt, nec ipſius ignorantiam, abſit: verùm ſingularẽ atque incredibilem quandam eius miſericordiam, & humanitatem oſtẽdunt. Quoniam enim, inquit, Hebræi quidem, vt qui regem popoſciſſent, ac me repudiaſſent, animaduerſione digni erant, at non ita vt in eos animaduertit Saül regiam dignitatem conſecutus, idcirco tum illorum vicẽ dolet, vt qui grauibus incommodis affecti ſint, tum huius quoque, vt qui ſæuum & acerbum ſe ipſis præbuerit. Quapropter in illorum animum ac voluntatem culpa conferenda, non in eius, qui eorum petitioni ceſſit, benignitatem.

Ἰσιδώρῳ διακόνῳ. υμ.

Ὥσπερ οἱ τοῖς πρώτοις γράμμασι
στοιχειούμενοι παῖδες, τῷ καθηγητῇ ἀ-
τενίζουσι πρὸς ὅπερ ἂν τὴν γραφίδα
ἀγόμενοι εὐπειθῶς. ἁρμόσῃ, ἄσμενοι καὶ εὐπειθῶς τοὺς
χαρακτῆρας δεχόμενοι, οὕτως καὶ τοὺς
τῶν θείων φοιτητὰς ἕπεσθαι τοῖς τού-
των διδασκάλοις, νηπιώδη ἁπλότη-
τα, καὶ ἀνενδοίαστον συγκατάθεσιν ἔχον-
τας. ἀπεκρύβη γὰρ, φησὶ, ταῦτα ὁ κύ-
ριος ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκα-
λύφθη νηπίοις.

Iſidoro Diacono. 440.

Quemadmodum pueri, cùm primùm literas formare diſcunt, in præceptorem intẽti ſunt, ad quod calamum accommodârit, lubenter atque obedienti animo notas excipientes: eodem modo eos quoque, qui ad res diuinas perdiſcendas ſe conferunt, earum magiſtros ſequi, atque puerilẽ ſimplicitatem & indubitatum aſſenſum habere oportet. Abſcondita enim ſunt hæc à ſapientibus & prudẽtibus, vt inquit Dominus, & paruulis reuelata.

Τῷ αὐτῷ. υμα.

Εἰ καὶ τελείους ἡμᾶς εἶναι ὁ θεῖος βού-
λεται νόμος, ὁμώνυμε, ἀλλὰ κατ' ἀνά-
βασιν καὶ προκοπὴν πρὸς τὴν τε-
λείωσιν φθάσαντας, πρότερον γάλα-
κτι ποτιζομένους. ὡς ἀρτιγέννητα βρέ-
φη, καὶ ἐν αὐτῷ εἰς σωτηρίαν αὐξάνοντας.

Eidem. 441.

Etſi perfectos nos eſſe Lex diuina vult, vir mihi cognominis: tamen illud neceſſe eſt, vt qui per aſcenſum ac progreſſionem ad perfectionem tendunt, priùs, tanquam modò geniti infantes, lactis potu alantur, atque in eo ad ſalutem creſcant.

Τῷ αὐτῷ. υμβ.

Κἀκεῖνο ὅπερ ἔφης, συνήγορον εὑρίσκω
τῶν πρώην γραφέντων σοι, μὴ παι-
δία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κα-
κίᾳ νηπιάζειν, ταῖς δὲ φρεσὶ τελειοῦ-
σθαι, τοῦ πανσόφου γράψαντος Παύ-
λου. οὐ γὰρ ἔστιν οὐκ ἔστι μὴ ἀποσμή-
ξαντας τὴν κακίαν, καὶ νηπιάσαντας

Eidem. 442.

Illud quoque, quod abs te commemoratum eſt, iis, quæ ad te nuper ſcripſi, fauere comperio, nimirum quòd Paulus nos admonet ne ſenſibus pueri efficiamur, ſed malitia paruuli ſimus: ſenſibus autem perfecti. Neque enim fieri poteſt, niſi improbitatem abſtergamus, atque ad puritatem